Σχόλια. Ω Σμικυθίων.] τοὺς τοῦ χοροῦ ἐξ ὀνόματος καλεῖ. κολαζόμεθα δὲ ἀντὶ τοῦ κολαζόμεθα. A

Bis. Εἰπέ μοι.] σημειῶσαι τὸ εἰπὲ ἑνικὸν μετὰ τῶν πληθυντικῶν συναπτόμενον. εἴτε κατ᾽ ἄδειαν ποιητικήν, ὡς τὸ ἄγε, περὶ οὗ ἐν τοῖς ἄνω προείρηται. εἴτε καὶ τὸ μὲν εἰπὲ ὡς πρὸς ἕνα μόνον εἴρηται. τὸ δὲ τί μέλλομεν, ὡς πρὸς πλείους.

ΣΤΡΟΦΗ κώλων ια΄.

Χο. Εἰπέ μοι τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν. B
Ἥνπερ ἡνίκ᾽ ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν,
Νῦν ἐκεῖνο νῦν ἐκεῖνο τὸ ὀξύθυμον
Ὦ κολαζόμεσθα κέντρον ἐντέτατ᾽ ὀξύ.
Ἀλλὰ θοιμάτια λαβόντες ὡς τάχιστα παιδία
Θεῖτε· καὶ βοᾶτε. καὶ Κλέωνι ταῦτ᾽ ἀγγέλλετε.
Καὶ κελεύετ᾽ αὐτὸν ἥκειν,
Ὡς ἐπ᾽ ἄνδρα μισόπολιν
Ὄντα κἀπολούμενον,
Ὅτι τόνδε λόγον εἰσφέρει, C
Ὡς χρὴ μὴ δικάζειν δίκας.

CHRIST. Κινεῖν ἐκείνην τὴν χολήν] Sic Latinè dicitur mouere bilem, vt Horat. Sæpè mihi vestri bilem mouere tumultus. Sic dicunt Græci κινεῖν καμάριναν, vt est in versu prouerbiali, μὴ κίνει καμάριναν, ἀκίνητος γὰρ ἀμείνων. Dixit autem hic κολαζόμεθα pro κολαζόμεθα.

STROPHA.

CH. Dic mihi cur ergo bilem nos mouere illam piget
Vestra qualis illa vespas cùm quis irritauerit,
Nunc acuta, nunc acuta quis nocentes
Vindicamus, eia tela stricta tendite,
Sed cito pede tunicata pallia ô puelluli
Sumite, ite, & hæc Cleoni nunciate clariter,
Huc venire eum iubete,
Ciuitatis hostis adest
Improbeque perditus
Noua consilia qui inuehit
Causas iudicandas negans.

D

ΒΔΕΛΥΚΛΕΩΝ, ΧΟΡΟΣ, ΞΑΝΘΙΑΣ, ΦΙΛΟΚΛΕΩΝ.

Bisetus. Ὁ χορὸς τῷ Φιλοκλέωνι βοηθεῖν πειρᾶται. ἀλλὰ Βδελυκλέων τὴν χοροῦ βοήθειαν καὶ λόγοις, καὶ ἔργοις κατὰ δύναμιν κωλύει.

Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη΄.

Βδε. Ὦ ᾽γαθοὶ τὸ πρᾶγμ᾽ ἀκούσατ᾽ ἀλλὰ μὴ κεκράγετε. E
Χο. Νὴ Δί᾽ ἐς τὸν οὐρανόν γ᾽ ὡς τόνδ᾽ οὐ μεθήσομαι.
Βδε. Ταῦτα δῆτ᾽ οὐ δεινὰ καὶ τυραννὶς ἐστὶν ἐμφανής;
Χο. Ὦ πόλις καὶ Θεώρου θεοσεχθρία.
Κεἴ τις ἄλλος προέστηκεν ὑμῶν κόλαξ.
Ξαν. Ἡράκλεις. καὶ κέντρ᾽ ἔχουσιν. οὐχ ὁρᾷς ὦ δέσποτα; F

BDELYCLEON, CHORVS, XANTHIAS, PHILOCLEON.

BD. Rem boni audite ô viri, sed parcite his clamoribus
CH. Imò in æthera vsque clamor ibit, hunc non deseram.
BD. Hæccine clara est tyrannis, diritásque barbara?
CH. Te voco vrbs ô Theori impietas mera, &
Si quis alter dolosè nobis imperat.
XA. Hercules, & spicula ergo habent, vide sis ô here,

Σχόλια. Ὦ ᾽γαθοὶ τὸ πρᾶγμα.] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μη΄. ὧν οἱ πρῶτοι τρεῖς τροχαϊκοὶ τετράμετροι καταληκτικοί. οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι ἀκατάληκτοι ἐπιμεμιγμένοι ἐπιτρίτοις καὶ διϊάμβοις. οἱ ἑξῆς τούτων ὀκτὼ τροχαϊκοὶ τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἱ τούτων ἑξῆς β΄ ἀντισπαστικοὶ τρίμετροι ὅμοιοι τοῖς ῥηθεῖσιν. ὁ δεύτερος δὲ τῶν β΄. ἔχει πόδα πεντασύλλαβον. οἱ ἑξῆς δὲ πάντες τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὧν τελευταῖος εἴπερ ἔτυχον τῶν μελέων Φιλοκλέους βεβρωκότες. ἐπὶ τῇ ἀποθέσει παράγραφος ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ἀλλὰ μὴ κεκ.] ταῦτα, ἵνα ἀποδὺς ὀρχήσηται ὁ χορὸς καὶ ἀπέλθωσιν οἱ παῖδες.

CHRIST. Ὦ ᾽γαθοὶ τό.] Hic est εἴσθεσις διπλῆς ἀμοιβαίας, versus continens 48. omnes Trochaici Tetrametri Catalectici præter quartum & quintum, decimum quartum & decimum quintum qui Trimetri sunt Antispastici Acatalecti, mixti Epitritis & Diiambis. Sed notandum decimumquintum habere secundum pedem quinque syllabarum. Lego autem pro τόνδ᾽ ἐγὼ οὐ μεθήσομαι, vt versus constet suis pedibus, τόνδε γ᾽ οὐ, sed & malim μεθήσομεν. Quod autem ait, μὴ κεκράγατε, in hoc Oeconomiam fabulæ agnoscas, Nam G interea saltaturus pallium ponit Chorus & facessunt pueri.

Σχόλια. Θεοσεχθρία.] καὶ Ἀρχίππος ἐν Πλούτῳ. οἴμοι τί ἐστι, μῶν ἔδωκε. τί σ᾽ ἔδακεν. κατὰ μὲν οὖν ἔφαγε κἀπέβρυξε τίς ἡ πανουργία τε καὶ θεοσεχθρία. ταῦτα δέ φησιν, ὡς τοῦ Κλέωνος καὶ τοῦ Θεώρου, προστατῶν αὐτῶν ὄντων.

CHR.